ὑπεμνημάτιστο τάδε [23]Ἔτους πρώτου βασιλεύοντος Κύρου· βασιλεὺς 23
Κῦρος προσέταξεν τὸν οἶκον τοῦ κυρίου τὸν ἐν Ιερουσαλημ οἰκο-
δομῆσαι, ὅπου ἐπιθύουσιν διὰ πυρὸς ἐνδελεχοῦς, [24]οὗ τὸ ὕψος 24
πήχεων ἑξήκοντα, πλάτος πήχεων ἑξήκοντα, διὰ δόμων λιθίνων
ξυστῶν τριῶν καὶ δόμου ξυλίνου ἐγχωρίου καινοῦ ἑνός, καὶ τὸ
δαπάνημα δοθῆναι ἐκ τοῦ οἴκου Κύρου τοῦ βασιλέως· [25]καὶ τὰ 25
ἱερὰ σκεύη τοῦ οἴκου κυρίου, τά τε χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξ-
ήνεγκεν Ναβουχοδονοσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ιερουσαλημ καὶ ἀπ-
ήνεγκεν εἰς Βαβυλῶνα, ἀποκατασταθῆναι εἰς τὸν οἶκον τὸν ἐν Ιε-
ρουσαλημ, οὗ ἦν κείμενα, ὅπως τεθῇ ἐκεῖ. [26]προσέταξεν δὲ ἐπι- 26
μεληθῆναι Σισίννῃ ἐπάρχῳ Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνῃ
καὶ τοῖς συνεταίροις καὶ τοῖς ἀποτεταγμένοις ἐν Συρίᾳ καὶ Φοινίκῃ
ἡγεμόσιν ἀπέχεσθαι τοῦ τόπου, ἐᾶσαι δὲ τὸν παῖδα τοῦ κυρίου
Ζοροβαβελ, ἔπαρχον δὲ τῆς Ιουδαίας, καὶ τοὺς πρεσβυτέρους τῶν
Ιουδαίων τὸν οἶκον τοῦ κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τόπου.
[27]κἀγὼ δὲ ἐπέταξα ὁλοσχερῶς οἰκοδομῆσαι καὶ ἀτενίσαι ἵνα συμ- 27
ποιῶσιν τοῖς ἐκ τῆς αἰχμαλωσίας τῆς Ιουδαίας μέχρι τοῦ ἐπιτε-
λεσθῆναι τὸν οἶκον τοῦ κυρίου· [28]καὶ ἀπὸ τῆς φορολογίας Κοίλης 28
Συρίας καὶ Φοινίκης ἐπιμελῶς σύνταξιν δίδοσθαι τούτοις τοῖς ἀν-
θρώποις εἰς θυσίας τῷ κυρίῳ, Ζοροβαβελ ἐπάρχῳ, εἰς ταύρους καὶ
κριοὺς καὶ ἄρνας, [29]ὁμοίως δὲ καὶ πυρὸν καὶ ἅλα καὶ οἶνον καὶ 29
ἔλαιον ἐνδελεχῶς κατ᾽ ἐνιαυτόν, καθὼς ἂν οἱ ἱερεῖς οἱ ἐν Ιερου-
σαλημ ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ᾽ ἡμέραν ἀναμφισβητήτως,
[30]ὅπως προσφέρωνται σπονδαὶ τῷ θεῷ τῷ ὑψίστῳ ὑπὲρ τοῦ βα- 30
σιλέως καὶ τῶν παίδων καὶ προσεύχωνται περὶ τῆς αὐτῶν ζωῆς.
[31]καὶ προσέταξεν ἵνα ὅσοι ἐὰν παραβῶσίν τι τῶν προειρημένων 31
καὶ τῶν προσγεγραμμένων ἢ καὶ ἀκυρώσωσιν, λημφθῆναι ξύλον ἐκ
τῶν ἰδίων αὐτοῦ καὶ ἐπὶ τούτου κρεμασθῆναι καὶ τὰ ὑπάρχοντα
αὐτοῦ εἶναι βασιλικά. [32]διὰ ταῦτα καὶ ὁ κύριος, οὗ τὸ ὄνομα αὐ- 32
τοῦ ἐπικέκληται ἐκεῖ, ἀφανίσαι πάντα βασιλέα καὶ ἔθνος, ὃς ἐκτενεῖ
τὴν χεῖρα αὐτοῦ κωλῦσαι ἢ κακοποιῆσαι τὸν οἶκον τοῦ κυρίου
ἐκεῖνον τὸν ἐν Ιερουσαλημ. [33]ἐγὼ βασιλεὺς Δαρεῖος δεδογμάτικα 33
ἐπιμελῶς κατὰ ταῦτα γίγνεσθαι.

[1]Τότε Σισίννης ὁ ἔπαρχος Κοίλης Συρίας καὶ Φοινίκης καὶ Σα- 7
θραβουζάνης καὶ οἱ συνέταιροι κατακολουθήσαντες τοῖς ὑπὸ τοῦ
βασιλέως Δαρείου προσταγεῖσιν [2]ἐπεστάτουν τῶν ἱερῶν ἔργων 2

22 υπομνηματιστο B || 25 τε > A† | τα $3^0$ > B | α > A† | και $3^0$ > B† || 26 δε $2^0$ > A† | του κυριου bis] του $1^0$ > BL†, του $2^0$ > AL | επαρχον] υπ. B† || 27 δε (cf. 8 19)] > A† | της ιουδαιας] των -δαιων A || 28 θυσιαν B || 30 αυτων ζωης] tr. L† || 31 προσεταξεν] προσταξαι B† | των προειρημ. και των προσγεγρ.] των γεγραμμενων B | η > B† | επι τουτου(A† -τω)] επ αυτου B || 32 την > BL† | του > B || 33 γιγνεσθαι B†] γιν. rel.: cf. 9
7 (cf. Esdr. II 6 13—22) 1 ο > B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/943 UNIVERSITÄT LEIPZIG